οἰκεῖν δοκήσω γαῖαν, Ἀργείοις δ' ὄκνῳ
ἱκέτας προδοῦναι· καὶ τάδ' ἀγχόνης πέλας.
Ἀλλ' ὤφελες μὲν εὐτυχέστερος μολεῖν,
ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς ὅπως σέ τις
σὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσει βίᾳ.
Σὺ δ' Ἄργος ἐλθὼν ταῦτά τ' Εὐρυσθεῖ φράσον,
πρὸς τοῖσδέ τ', εἴ τι τοισίδ' ἐγκαλεῖ ξένοις,
δίκης κυρήσειν· τούσδε δ' οὐκ ἄξεις ποτέ.

ΚΗ. Οὐκ ἢν δίκαιον ᾖ τι καὶ νικῶ λόγῳ;
ΔΗ. Καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;
ΚΗ. Οὔκουν ἐμοὶ τόδ' αἰσχρόν, ἀλλὰ σοὶ βλάβος.
ΔΗ. Ἐμοί γ', ἐάν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.
ΚΗ. Σὺ δ' ἐξόριζε, κᾆτ' ἐκεῖθεν ἄξομεν.
ΔΗ. Σκαιὸς πέφυκας τοῦ θεοῦ πλείω φρονῶν.
ΚΗ. Δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.
ΔΗ. Ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
ΚΗ. Ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.
ΔΗ. Οὔκουν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;
ΚΗ. Βλάπτων ⟨γ'⟩ ἐκείνους μηδέν, ἢν σὺ σωφρονῇς.
ΔΗ. Βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς.
ΚΗ. Οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
ΔΗ. Κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήσομαι.
ΚΗ. Ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
ΔΗ. Οὐκ ἆρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.
ΚΗ. Πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι.
ΔΗ. Κλαίων ἄρ' ἅψῃ τῶνδε κοὐκ ἐς ἀμβολάς.

245 ὄκνῳ Musgrave . ὀκνῶ || 247 εὐτυχέστερος rec : -τερον || 249 ἀποσπάσει Elmsley : σῃ || 251 τοῖσδέ τ' Musgrave : τοῖσδ' ἔτ' || 252 κυρήσειν Bothe : κυρήσει « L : κυρήσειε P || 255 σοι rec : σὺ || 262 τῶν Reiske : τῶνδ' || 263 γ' add. Elmsley || ἢν Matthiae : ἂν.